Nam quidam ex honorum, facultatúmque copia, honestum persequuntur: quapropter & honestiori rei amicitia quædam est. Quocirca manifestum vt hæc distinguenda sint. Nam si morales amici sunt, ad electionem spectandum est, num æquale, vel secus, alteri sit ab altero postulandum: verùm si vtilitatis mutuæ gratia conueniunt, & ciuiles, quantum quisque commodarit, expenditur. Quòd si hic quidem ex more, ille verò ex vtili statuat, non pulchrum quidem, sed factu necessarium tamen, vt boni id consulamus, similiter & in altero: vt quia moraliter quidem de rebus non iudicat, at nihil simulat, in amicitia tamen contentus alter in talem amicum incidisse sit. Moralem igitur secundum electionem esse patet, quoniam etsi magnis beneficiis acceptis vel ob facultatum penuriam non rependit, sed quantum potuit præstitit, rectè habet. Atque ita Deus pro facultatum modulo nostrarum sacrificia æstimat: verùm ementi, ac mutuò ad vsuram danti, nisi amplius isthinc prouenturum polliceare, nõ suffecerit. Vnde multæ accusationes in amicos oriuntur, nisi iustum illud puro iudicio prospiciatur. Difficile enim est, ad vnum quidem exquirere quæ non rectà se inuicem spectant, velut inter amantes vsu venit. Vbi alius ob conuiuendi voluptatem cõplectitur alium: ille verò ipsum propter vtilitatem. Verùm quando is amor refrigescit, alio superueniente aliquo fit alius, ac tum inter sese ratiocinantur, velut Python, & Pammenes altercabantur: & in vniuersum quæ præceptoris erga discipulum ratio est. Neque enim scientiam, & facultates, vno aliquo metiri conuenit. Ac velut Prodicus medicus erga mercedem malignè persoluentem: & citharœdus & Rex: hic enim vt iucundo, ille verò vt vtili conuersabatur. Et quia persoluere beneficium oportet, iucundum se ipsum exhibet, & ad hilaritatem prouocat, sic vicissim ille alia promittit. Quo autem pacto hæc diiudicanda sint, etiã hinc manifestum fit. Nam vtique hoc loco vno quopiam hæc mensuranda sunt, verùm non termino, sed ratione: proportio enim mensuranda est, quemadmodum & ciuilis communicatio solet. Nam quo pacto inter agricolam, sutorémque communicatio constabit, nisi ex proportione æquetur opera? Nam qui non eodem respectu ad inuicẽ agunt, mensurã habent proportionẽ: velut si hic quidẽ sapientiã, alter verò pro sapiẽtia pecuniã à diuite postulet. Deinde verò quid datum sit, cõsiderandũ erit. Nã si alter ex aceruo minori partem dederit,

A ἐκ προαιρέσεως γὰρ διώκουσιν οἱ πολλοὶ τὸ καλόν. διὸ καὶ τῇ καλλίω φιλία. ὥστε φανερὸν πῶς διαιρετέον περὶ τούτων. εἰ μὲν γὰρ ἠθικοὶ φίλοι, εἰς τὴν προαίρεσιν βλεπτέον εἰ ἴση, καὶ οὐθὲν ἄλλο ἀξιωτέον θατέρῳ παρὰ θατέρου. εἰ δ' ὡς χρήσιμοι καὶ πολιτικοί, ὡς ἂν ἐλυσιτέλει ὁμολογοῦσιν. ἂν δ' ὁ μὲν φῇ ὧδε, ὁ δ' ἐκείνως, οὐ καλὸν μὲν ἀντιποιῆσαι, δέον τοὺς καλοὺς λέγειν λόγους. ὁμοίως δὲ καὶ ἐπὶ θατέρου. B ἀλλ' ἐπειδὴ οὐ διείποντο ὡς ἠθικῶς, δεῖ κρίνειν τινὰ μηδ' ὑποκρινόμενον μηδέτερον αὐτῶν ἐξαπατᾶν. ὥστε δεῖ στέργειν αὐτὸν τὴν τύχην. ὅτι δ' ἐστὶν ἡ ἠθικὴ κατὰ προαίρεσιν, δῆλον· ἐπεὶ κἂν εἰ μεγάλα παθὼν μὴ ἀποδῴη δι' ἀδυναμίαν, ἀλλ' ὡς ἐδύνατο, καλῶς· καὶ ὁ θεὸς ἀνέχεται κατὰ δύναμιν λαμβάνων τὰς θυσίας· ἀλλὰ τῷ πωλοῦντι οὐχ ἱκανῶς ἕξει, ἂν μὴ φήσῃ δύνασθαι πλέον C δοῦναι, οὐδὲ τῷ δανείσαντι. πολλὰ ἐγκλήματα γίνεται ἐν ταῖς φιλίαις, τοῖς μὴ κατ' εὐθυωρίαν καὶ τὸ δίκαιον ἰδεῖν. οὐ ῥᾴδιον γὰρ χαλεπὸν μετρῆσαι ἑνὶ τῷ μὴ κατ' εὐθυωρίαν, οἷον συμβαίνει ἐπὶ τῶν ἐρωτικῶν. ὁ μὲν γὰρ διώκει ὡς τὸν ἡδὺν ἐπὶ τὸ συζῆν, ὁ δ' ἐκεῖνον ἐνίοτε ὡς χρήσιμον. ὅταν δὲ παύσηται τοῦ ἐρᾶν, ἄλλου γινομένου, ἄλλος γίνεται· καὶ τότε D λογίζονται τί ἀντὶ τίνος, καὶ ὡς Πύθων καὶ Παμμένης διεφέροντο, καὶ ὅλως διδάσκαλος καὶ μαθητής. ἐπιστήμη γὰρ καὶ χρήματα οὐχ ἑνὶ μετρεῖται· καὶ ὡς Πρόδικος ὁ ἰατρὸς πρὸς τὸν ἀποδιδόντα μικρὸν τὸν μισθόν, καὶ ὡς ὁ κιθαρῳδὸς καὶ ὁ βασιλεύς. ὁ μὲν γὰρ ὡς ἡδεῖ, ὁ δ' ὡς χρησίμῳ ὡμίλει. ὁ δ' ἐπεὶ ἔδει ἀποδιδόναι αὐτόν, αὐτὸν ὡς ἡδὺν ἐποίησεν, καὶ ἔφη ὥσ- E περ ἐκεῖνον ᾄσαντα εὐφρᾶναι, οὕτω καὶ αὐτὸς ὑποσχόμενος ἐκείνῳ. ὅπως δὲ φανερὸν καὶ ἐνταῦθα πῶς γνωριστέον. ἑνὶ γὰρ μετρητέον καὶ ἐνταῦθ', ἀλλ' οὐχ ὅρῳ, ἀλλὰ λόγῳ. τὸ ἀνάλογον γὰρ μετρητέον, ὥσπερ καὶ ἡ πολιτικὴ μετρεῖται κοινωνία. πῶς γὰρ κοινωνήσει γεωργῷ σκυτοτόμος, εἰ μὴ τὸ ἀνάλογον ἰσασθήσεται τὰ ἔργα; τοῖς δὲ μὴ κατ' εὐθυωρίαν, F τὸ ἀνάλογον μέτρον· οἷον εἰ ὁ μὲν σοφίαν δοῦναι ἐγκαλεῖ, ὁ δ' ἐκείνῳ ἀργύριον, τῇ σοφίᾳ πρὸς τὸ πλούσιον εἶτα τί δοθὲν πρὸς ἑκάτερον. εἰ γὰρ ὁ μὲν τοῦ ἐλάττονος ἥμισυ ἔδωκεν,